9 λαός μου, ὅτι ἐγγίζουσιν τοῦ ἐλθεῖν. [9]ὅτι ἰδοὺ ἐγὼ ἐφ᾽ ὑμᾶς καὶ
10 ἐπιβλέψω ἐφ᾽ ὑμᾶς, καὶ κατεργασθήσεσθε καὶ σπαρήσεσθε. [10]καὶ
πληθυνῶ ἐφ᾽ ὑμᾶς ἀνθρώπους, πᾶν οἶκον Ισραηλ εἰς τέλος, καὶ
11 κατοικηθήσονται αἱ πόλεις, καὶ ἡ ἠρημωμένη οἰκοδομηθήσεται. [11]καὶ
πληθυνῶ ἐφ᾽ ὑμᾶς ἀνθρώπους καὶ κτήνη καὶ κατοικιῶ ὑμᾶς ὡς
τὸ ἐν ἀρχῇ ὑμῶν καὶ εὖ ποιήσω ὑμᾶς ὥσπερ τὰ ἔμπροσθεν ὑμῶν·
12 καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι κύριος. [12]καὶ γεννήσω ἐφ᾽ ὑμᾶς ἀνθρώ-
πους τὸν λαόν μου Ισραηλ, καὶ κληρονομήσουσιν ὑμᾶς, καὶ ἔσεσθε
αὐτοῖς εἰς κατάσχεσιν· καὶ οὐ μὴ προστεθῆτε ἔτι ἀτεκνωθῆναι
13 ἀπ᾽ αὐτῶν. [13]τάδε λέγει κύριος κύριος Ἀνθ᾽ ὧν εἶπάν σοι Κατ-
έσθουσα ἀνθρώπους εἶ καὶ ἠτεκνωμένη ὑπὸ τοῦ ἔθνους σου ἐγένου,
14 [14]διὰ τοῦτο ἀνθρώπους οὐκέτι φάγεσαι καὶ τὸ ἔθνος σου οὐκ
15 ἀτεκνώσεις ἔτι, λέγει κύριος κύριος. [15]καὶ οὐκ ἀκουσθήσεται οὐκέτι
ἐφ᾽ ὑμᾶς ἀτιμία ἐθνῶν, καὶ ὀνειδισμοὺς λαῶν οὐ μὴ ἀνενέγκητε,
λέγει κύριος κύριος.
16 17 [16]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [17]Υἱὲ ἀνθρώπου,
οἶκος Ισραηλ κατῴκησεν ἐπὶ τῆς γῆς αὐτῶν καὶ ἐμίαναν αὐτὴν
ἐν τῇ ὁδῷ αὐτῶν καὶ ἐν τοῖς εἰδώλοις αὐτῶν καὶ ἐν ταῖς ἀκα-
θαρσίαις αὐτῶν· κατὰ τὴν ἀκαθαρσίαν τῆς ἀποκαθημένης ἐγενήθη
18 ἡ ὁδὸς αὐτῶν πρὸ προσώπου μου. [18]καὶ ἐξέχεα τὸν θυμόν μου
19 ἐπ᾽ αὐτοὺς [19]καὶ διέσπειρα αὐτοὺς εἰς τὰ ἔθνη καὶ ἐλίκμησα αὐτοὺς
εἰς τὰς χώρας· κατὰ τὴν ὁδὸν αὐτῶν καὶ κατὰ τὴν ἁμαρτίαν αὐ-
20 τῶν ἔκρινα αὐτούς. [20]καὶ εἰσήλθοσαν εἰς τὰ ἔθνη, οὗ εἰσήλθοσαν
ἐκεῖ, καὶ ἐβεβήλωσαν τὸ ὄνομά μου τὸ ἅγιον ἐν τῷ λέγεσθαι αὐ-
21 τούς Λαὸς κυρίου οὗτοι καὶ ἐκ τῆς γῆς αὐτοῦ ἐξεληλύθασιν. [21]καὶ
ἐφεισάμην αὐτῶν διὰ τὸ ὄνομά μου τὸ ἅγιον, ὃ ἐβεβήλωσαν οἶκος
22 Ισραηλ ἐν τοῖς ἔθνεσιν, οὗ εἰσήλθοσαν ἐκεῖ. [22]διὰ τοῦτο εἰπὸν τῷ
οἴκῳ Ισραηλ Τάδε λέγει κύριος Οὐχ ὑμῖν ἐγὼ ποιῶ, οἶκος Ισραηλ,
ἀλλ᾽ ἢ διὰ τὸ ὄνομά μου τὸ ἅγιον, ὃ ἐβεβηλώσατε ἐν τοῖς ἔθνεσιν,
23 οὗ εἰσήλθετε ἐκεῖ. [23]καὶ ἁγιάσω τὸ ὄνομά μου τὸ μέγα τὸ βεβη-

8 εγγιζουσιν Gra.] ελπιζ. mss.: cf. Ps. 68 4 || 9 οτι > A | εφ υμας και 1⁰ > A | και σπαρ. > A† || 10 παν: sic BAQ, cf. Iud. 7 4 B | πολεις] + υμων A | και αι ηρημωμεναι οικοδομηθησονται uel sim. A mu.: cf. 33 24. 27 et 38 12 || 11 τα] το A || 12 γεννησω] δωσω A | προστεθησεσθαι(pro -θε) A || 13 κυριος κυριος (cf. 14. 15. 32 2 4)] αδωναι κυριος A: item in 14, cf. 32 5 5 || 14 ατεκνωσεις] -σει σε A | ετι] ουκετι A | κυριος κυριος: cf. 13 || 15 ονειδισμον AC† | λαων] εθνων A† | ανενεγκ.] αν > A; + ετι A = 𝔐 | κυριος κυριος (cf. 13)] κυριος ο θεος A: cf. 32 14 6 || 17 κατωκησαν A | και 1⁰] + εν ταις ακαθαρσιαις αυτων A, sed hab. eadem uerba etiam postea | εν 3⁰ > B | κατα] pr. και B† | αποκαθ.] αφεδρου A || 18 fin. B†] + περι του αιματος ου εξεχεαν επι την γην και εν τοις ειδωλοις αυτων εμιαναν αυτην uel sim. rel. (in *O* sub ※) || 19 την οδον] τας οδους A | την αμαρτ.] τας ανομιας A || 20 εισηλθον bis B, sed in 21 37 21 etiam B εισηλθοσαν | αυτου] -των A | εξεληλυθ.] εξηλθοσαν A || 22 κυριος: cf. 6 || 23 μεγα] αγιον A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/840 UNIVERSITÄT LEIPZIG